ιδ' Ἐρ. — Οὐκοῦν, πάλιν ἔφην, ἐν σχήματι;

Ἀπ. — Οὔκ, ἔφη, ἀλλ' ἐν ἀρετῇ δόξης· διὸ οἱ τούτου μέλλοντες καταξιοῦσθαι ἐν τῷ φωτὶ μὲν ἔσονται διὰ παντός, τοῦ Θεοῦ τῆς ἀγάπης ἀεὶ ἐν δόξῃ ἀπολαύοντες, τοῦ θείου δὲ καταλάμποντος αὐτοὺς φωτὸς τὴν φύσιν οἵα τίς ἐστι κατανοῆσαι μὴ δυνάμενοι· ὃν γὰρ τρόπον χωρεῖται ὅπου θέλει Θεὸς ἐν τῷ μένειν ἀχώρητος, οὕτω καὶ ὁρᾶται ἔνθα ἂν θέλῃ ἐν τῷ μένειν ἀόρατος.

ιε' Ἐρ. — Τί δὲ δεῖ νομίζειν ἀρετὴν Θεοῦ;

Ἀπ. — Κάλλος, ἔφη, ἀνείδεον, ἐν δόξῃ μόνῃ γνωριζόμενον.

ις' Ἐρ. — Ἐμοὶ δ', ἔφην, ἡ δόξα ὥσπερ ὄψις τις ἐξοχωτάτη ἀνθρωπίνως νοεῖται.

Ἀπ. — Μὴ οὕτω νόει, ἔφη. Τῆς γὰρ ἀΰλου ἐκείνης καὶ μακαρίας φύσεως ὑπὲρ εἶδος εἶναι τὸ κάλλος πιστεύεται διὰ πολλὴν καθαρότητα· ὅθεν καὶ τὰ μηδέπω ὄντα ὡς παρόντα μόνος Θεὸς καθορᾷ· εἰ γὰρ ἐν εἴδει ἦν τινι ἡ φύσις ἐκείνη ἡ ἄφραστος, οὐκ ἂν τὰ μηδέπω ὄντα ἐθεώρει ὡς ὄντα.

ιζ' Ἐρ. — Πῶς λέγεις;

Ἀπ. — Ὅτι τὸ ἐν εἴδει ὅλως ὄν τινι οὐδὲν τῶν μελλόντων λέγεσθαι ἢ γίνεσθαι προειδέναι δύναται διὰ τὸ ἐν ὅρῳ αὐτὸ ὅλως ὑπάρχειν φύσεως, κἂν πᾶσαν αὐτοῦ ὥσπερ ὄψιν ἔχῃ τὴν φύσιν. Διόπερ ὁ ἡμέτερος νοῦς ὀφθαλμῷ μέν τινι πλουσίῳ τὰ πάντα περισκοπεῖ, τῶν δὲ μελλόντων γίνεσθαι οὐδὲν εἰδέναι δύναται οὐδὲ μετὰ τὸ χωρισθῆναι τὴν ψυχὴν τοῦ σώματος, ὅτε ἡ πᾶσα ὥσπερ ὀφθαλμός τις εἶναι πιστεύεται, ὅπερ καὶ περὶ τῶν οὐρανίων δυνάμεων προσήκει νοεῖν, ὧν ὄψις ὄντως ἡ πᾶσα φύσις εἶναι λογίζεται.

ιη' Ἐρ. — Τί οὖν, ὅτι καὶ αὐτὰς καὶ τὴν ψυχὴν ὑπὲρ εἶδος εἶναι λογίζονταί τινες;